# ΘΟΥΚΥΔΙΔΟΥ

# ΞΥΓΓΡΑΦΑΙ.

## ΠΑΡΑΚΕΛΕΥΣΙΣ ΠΑΓΟΝΔΟΥ ΕΠΙ ΤΟΥΣ ΒΟΙΩΤΟΥΣ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΕΝΤΡΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Χρεὼν μὲν, ὦ ἄνδρες Βοιωτοὶ, μηδ' εἰς ἐπίνοιάν τινα ἡμῶν ἐλθεῖν τῶν ἀρχόντων, ὡς οὐκ εἰκὸς Ἀθηναίοις, ἢν ἄρα μὴ ἐν τῇ Βοιωτίᾳ ἔτι καταλάβωμεν αὐτοὺς, διὰ μάχης ἐλθεῖν. τὴν γὰρ Βοιωτίαν ἐκ τῆς ὁμόρου ἐλθόντες, τεῖχος ἐνοικοδομησάμενοι μέλλουσι φθείρειν. καὶ εἰσὶ δήπου πολέμιοι, ἐν ᾧ τε ἂν χωρίῳ καταληφθῶσι, καὶ ὅθεν ἐπελθόντες πολέμια ἔδρασαν. Νυνὶ δ' εἴτῳ καὶ ἀσφαλέστερον ἔδοξεν εἶναι, μεταγνώτω· οὐ γὰρ τὸ προμηθὲς οἷς ἂν ἄλλος ἐπίῃ, περὶ τῆς σφετέρας ὁμοίως ἐνδέχεται λογισμὸν, καὶ ὅστις τὰ μὲν ἑαυτοῦ ἔχει, τοῦ δὲ πλείονος ὀρεγόμενος, ἑκὼν τινι ἐπέρχεται· πάτριόν τε ὑμῖν στρατὸν ἀλλόφυλον ἐπελθόντα, καὶ ἐν τῇ οἰκείᾳ, καὶ ἐν τῇ τῶν πέλας ὁμοίως ἀμύνεσθαι· Ἀθηναίους δὲ, καὶ προσέτι ὁμόρους ὄντας, πολλῷ μάλιστα δεῖ. πρός τε γὰρ τοὺς ἀστυγείτονας πᾶσι τὸ ἀντίπαλον καὶ ἐλεύθερον καθίσταται. καὶ πρὸς τούτοις γε δὴ, οἳ καὶ μὴ τοὺς ἐγγὺς, ἀλλὰ καὶ τοὺς ἄπωθεν πειρῶνται δουλοῦσθαι, πῶς οὐ χρὴ καὶ ἐπὶ τὸ ἔσχατον ἀγῶνος ἐλθεῖν; Παράδειγμα δὲ ἔχομεν τούς τε ἀντιπέρας Εὐβοέας, καὶ τῆς ἄλλης Ἑλλάδος τὸ πολὺ, ὡς αὐτοῖς διάκειται· καὶ

γνῶναι ὅτι τοῖς μὲν ἄλλοις οἱ πλησιόχωροι περὶ γῆς ὅρων τὰς μάχας ποιοῦνται· ἡμῖν δὲ ἐς πᾶσαν, ἢν νικηθῶμεν, εἷς ὅρος οὐκ ἀντίλεκτος παγήσεται· ἐσελθόντες γάρ, βίᾳ τὰ ἡμέτερα ἕξουσι. τοσούτῳ ἐπικινδυνοτέραν ἑτέρων τὴν παροίκησιν τῶνδε ἔχομεν. Εἰώθασί τε οἱ ἰσχύος που θράσει τοῖς πέλας (ὥσπερ Ἀθηναῖοι νῦν) ἐπιόντες, τὸν μὲν ἡσυχάζοντα, καὶ ἐν τῇ ἑαυτοῦ μόνον ἀμυνόμενον, ἀδεέστερον ἐπιστρατεύειν· τὸν δὲ ἔξω ὅρων προαπαντῶντα, καί, ἢν καιρὸς ᾖ, πολέμου ἄρχοντα, ἧσσον ἑτοίμως κατέχειν. Πεῖραν δὲ ἔχομεν ἡμεῖς αὐτοῦ ἐς τούσδε· νικήσαντες γὰρ ἐν Κορωνείᾳ αὐτούς, ὅτε τὴν γῆν, ἡμῶν στασιαζόντων, κατέχον, πολλὴν ἄδειαν ἐν τῇ Βοιωτίᾳ μέχρι τοῦδε κατεστήσαμεν. Ὧν χρὴ μνησθέντας ἡμᾶς, τούς τε πρεσβυτέρους ὁμοιωθῆναι τοῖς πρὶν ἔργοις, τούς τε νεωτέρους, πατέρων τῶν τότε ἀγαθῶν γενομένων παῖδας, πειρᾶσθαι μὴ αἰσχῦναι τὰς προσηκούσας ἀρετάς· πιστεύσαντες δὲ τῷ θεῷ πρὸς ἡμῶν ἔσεσθαι, οὗ τὸ ἱερὸν ἀνόμως τειχίσαντες, νέμονται, καὶ τοῖς ἱεροῖς ἃ ἡμῖν θυσαμένοις καλὰ φαίνεται, ὁμόσε χωρῆσαι τοῖσδε, καὶ δεῖξαι ὅτι ὧν μὲν ἐφίενται, πρὸς τοὺς μὴ ἀμυνομένους ἐπιόντες κτάσθωσαν· οἷς δὲ γενναῖον τήν τε αὐτῶν αἰεὶ ἐλευθεροῦν μάχῃ, καὶ τὴν ἄλλων μὴ δουλοῦσθαι ἀδίκως, ἀναγώνιστοι ἀπ' αὐτῶν οὐκ ἀπίασι.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ΤΟΥ-

# ΤΟΥ ΑΥΤΟΥ ΠΑΡΑΚΕΛΕΥΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ.

Ὦ Ἀθηναῖοι, δι' ὀλίγου μὲν ἡ παραίνεσις γίγνεται, τὸ ἴσον δὲ πρός τε τοὺς ἀγαθοὺς ἄνδρας δύναται, καὶ ὑπόμνησιν μᾶλλον ἔχει, ἢ ἐπικέλευσιν. Παραστῇ δὲ μηδενὶ ὑμῶν, ὡς ἐν τῇ ἀλλοτρίᾳ οὐ προσῆκον τοσόνδε κίνδυνον ἀναρριπτοῦμεν· ἐν γὰρ τῇ * τούτων, ὑπὲρ τῆς ὑμετέρας ὁ ἀγὼν ἔσται· καὶ ἢν νικήσωμεν, οὐ μήποτε ὑμῖν Πελοποννήσιοι ἐς τὴν χώραν ἄνευ τῆς τῶνδε ἵππου ἐσβάλωσιν· ἐν δὲ μιᾷ μάχῃ τήνδε τε προσκτᾶσθαι, καὶ ἐκείνην μᾶλλον ἐλευθεροῦτε. Χωρήσατε οὖν ἀξίως ἐς αὐτοὺς τῆς τε πόλεως, ἣν ἕκαστος πατρίδα ἔχων πρώτην ἐν τοῖς Ἕλλησιν ἀγάλλεται, καὶ τῶν πατέρων, οἳ τούσδε μάχῃ κρατοῦντες μετὰ Μυρωνίδου ἐν Οἰνοφύτοις τὴν Βοιωτίαν ποτὲ ἔσχον.

ΤΕΛΟΣ.

10367



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ ΤΡΣ Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006